λυτέον εὐμηχάνως τὸ ἄπορον, ὡς μήτε τὰ τῆς θρεψαμένης πάντη παραλιπεῖν καὶ τοῖς σοῖς ἐπιβαλεῖν τελεώτερον, ἵν᾽ ἔχοιτε τοῖς ἀλλήλων ἐγκαλλωπίζεσθαι.

Ἡ γάρ σου πατρίς, ὦ καὶ γένος καὶ τρόπον καὶ πάντα πάντων κάλλιστε, 8
εὖ μὲν τῇ ὥρᾳ κέκραται, ὡς μήτε τὸ τῶν Ὑπερβορέων καὶ Ταύρων ἔχεις δυσχείμερον μήτε τῆς Αἰγύπτου τὸ ἄνομβρον, ἀλλ᾽ ἐκείνων μὲν τὸ πάντη χείμερον καὶ τὸ τῆς ὥρας ἀγριαῖνον ἐκπέφευγε, ταύτης δὲ τὸ περιπνιγὲς καὶ οἷον ἆσθμα λοχεύειν πυρὸς οὐκ ἐδέξατο, ἀλλ᾽ ἔχει Ταύρων μὲν ἀνεφελώτερον, Αἰγύπτου δὲ ὀμβριμώτερον· τοὺς μέντοι καρποὺς τοσούτους ὥρας ἡκούσης ἐκυοφόρησεν, ὡς μηδ᾽ ὑπολιπέσθαι μηδένα νομίζειν καρπὸν ἑτέρωθι πόλεως· γεωργεῖ δὲ οὐ μόνον ὅσα ὧραι φύουσι καὶ ἄρουραι καλλίβωλοι φέρουσιν, ἀλλά που καὶ διαποντίων καλῶν ἔγευσε καὶ διπλοῦν τοῖς ἐποικοῦσιν ἐπισκευάζει τὸ εὔδαιμον, τοῖς μὲν ἀπὸ θαλάττης πλέον τι τῶν ἐν ἠπείρῳ διδοῦσα τὸ φιλοτίμημα, τοῖς δ᾽ ἀπὸ γῆς εὐδαιμονέστερον ἔχειν τῶν ἐπὶ θαλάττης παρασκευάζουσα. καὶ γὰρ οὕτω θέσεως εἴληχεν ὡς ὀμφαλὸς ἐν ἀσπίδι ὡς ἐν κύκλῳ τὸ μεσαίτατον· τὰ μὲν ἔνθεν Εὐρώπη παρατέταται, τὰ δ᾽ ἐκεῖθεν Ἀσία τῷ πελάγει συνέζευκται· ἡ δ᾽ ἐν μέσῳ λαμπρὰ λαμπρὸν ὑπαυγάζουσα, καλλίστη μὲν ἰδεῖν μεγίστη δέ, ὡς θαυμάσαι, ἀστέρι ὀπωρινῷ ἐναλίγκιος. εἴποις ἂν ὡς ἐρῶσιν αὐτῆς γῆ τε καὶ θάλασσα. καὶ ἤπειρος μὲν εἰς ἑαυτὴν ἐφέλκεται καὶ μόνης αὐτῆς εἶναι φιλονεικεῖ καὶ πᾶσαν εἰς ἤπειρον μετασκευάζειν ἐπείγεται· ἀλλ᾽ ἐκεῖθεν ἀντερᾷ τοῦ κάλλους ἡ θάλασσα καὶ τὸν ἀντέρωτα δείκνυσιν, οἷς θερμότερον τὴν ἐρωμένην ἐναγκαλίζεται. καὶ προσάγουσιν ἄμφω νόμοις ἐραστῶν δῶρα, γῆ μὲν ὅσα γηπόνων φιλοτεχνήματα θάλαττα δὲ ὅσα ἐπὶ κύμασι φύεται· ἡ δὲ οὔτε τῆς θαλάττης ἀφίσταται καὶ τὴν ἤπειρον περιπτύσσεται, καὶ ὡς οἷα μήτηρ φιλόπαις ὑπὸ πλουσίῳ τῷ μαστῷ παῖδας εὐγενεῖς γαλουχεῖ τοὺς οἰκήτορας· ὑπὲρ τοὺς Ἀλκινόου κήπους καὶ τὴν ἐπιβλαστάνουσαν ὀπώραν ἐκείνην τῆς Μεγαλοπόλεως τὰ κηπεύματα, ὑπὲρ τὴν Φαιάκων τρυφὴν καὶ τὰς ἐκείνων πανδήμους θαλίας τοῖς Κωνσταντινουπολίταις αἱ τράπεζαι, ὑπὲρ τὴν Λωτοφάγων εὐδαιμονίαν τοῖς Μεγαλοπολίταις τὸ εὔμοιρον.

Σὺ δέ μοι ὁ Ῥωμαῖος ὁ ἐξ Αἰνείου τὸ γένος αὐχῶν ὁ δεινὸς ὁ μέγας ὁ σο- 9
βαρὸς ὁ τὰς ὀφρῦς ἀνεσπακώς, ἀντιδιήγησαί μοι τὰ σὰ καὶ τὰ τῆς ἤδη γεγηρακυίας Ῥώμης ἐναποσέμνυνε τῷ διηγήματι, καὶ λέγε μοι τὸν